www.tezaurliturgic.ro

# ΙΑΝΟΥΑΡΙΟΥ Ι΄
# ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς Πατέρων ἀγλάϊσμα, καὶ ποιμένων ὡράϊσμα, καὶ πιστῶν προπύργιον ἀῤῥαγέστατον, τῶν εὐσεβῶν τὰ συστήματα, ὑμνοῦμέν σε σήμερον, συνελθόντες εὐλαβῶς, καὶ πιστῶς ἀνακράζομεν· Ἀξιάγαστε, Ἱεράρχα Γρηγόριε ταῖς θείαις, ἱκεσίαις σου τὰ κρείττω, ἀεὶ χορήγει τῇ ποίμνῃ σου.

Ἀγαπήσας τὸν Κύριον, ὁλικῶς ἐκ νεότητος, τὰ αὐτοῦ ἐφύλαξας δικαιώματα, καὶ Ἱεράρχης γενόμενος, ἀξίως τῆς κλήσεως, ἐλειτούργησας Θεῷ· ὃν ἀπαύστως ἱκέτευε, παμμακάριστε, τῆς τοῦ χείρονος ῥῦσαι τυραννίδος, τοὺς πιστῶς προσερχομένους, τῇ σῇ πρεσβείᾳ Γρηγόριε.

Ἀστραπαῖς τῶν δογμάτων σου, τῶν βλασφήμων αἱρέσεων, νύκτα τὴν καχέσπερον διεσκέδασας, καὶ εὐσεβῶν τὰ συστήματα, ἐνθέως ἐφώτισας, ἀληθείας τῷ φωτί, Ἱεράρχα Γρηγόριε. Ὅθεν σήμερον, ἐν ψαλμοῖς εὐφημεῖ χρεωστικῶς σε, τοῦ Χριστοῦ ἡ Ἐκκλησία, ἐπιτελοῦσα τὴν μνήμην σου.

Ἐξ Ἑῴας ὡς ἥλιος, ἀνατείλας πολύφωτος, Ὀρθοδόξων ηὔγασας τὰ συστήματα· περιαστράπτων γὰρ δόγμασι, τοῖς θείοις τῆς πίστεως, τῶν μωρῶν κατασκευῶν, τὰς νεφώσεις διέλυσας. Ὅθεν ἅπαντες, τοὺς μεγίστους σου σέβομεν ἀγῶνας, καὶ τὰς ἄλλας ἀρετάς σου, Ἀρχιεράρχα Γρηγόριε.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τῶν Πατέρων τὸ καύχημα καὶ Νυσσαέων ὁ φωστήρ, τῆς σοφίας τὸ γρήγορον στόμα, Γρηγόριος ὁ θεόσοφος νοῦς, χρεωστικῶς εὐφημείσθω μοι σήμερον· τὴν τρισυπόστατον γὰρ φύσιν τῆς Θεότητος, τὸν Πατέρα καὶ Υἱόν καὶ Πνεῦμα τὸ Ἅγιον, μία Θεότητα κηρύξας καὶ οὐσίαν, τῶν θεομάχων τὸ θράσος κατήσχυνεν. Ὅθεν παρὰ Χριστοῦ λαμπρῶς δοξασθείς, ὑπὲρ ἡμῶν αὐτόν ἱκετεύει ἀεί, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Κύριε, πληρῶσαι βουλόμενος, ἃ ὥρισας ἀπ᾿ αἰῶνος, ἀπὸ πάσης τῆς κτίσεως, λειτουργοὺς τοῦ μυστηρίου σου ἔλαβες· ἐκ τῶν Ἀγγέλων τὸν Γαβριήλ, ἐκ τῶν ἀνθρώπων τὴν Παρθένον, ἐκ τῶν οὐρανῶν τὸν Ἀστέρα, καὶ ἐκ τῶν ὑδάτων τὸν Ἰορδάνην· ἐν ᾧ τὸ ἀνόμημα τοῦ κόσμου ἐξήλειψας, Σωτὴρ ἡμῶν δόξα σοι.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε χρεωστικῶς, τὸν τῆς Ὀρθοδοξίας, λαμπρὸν τρισαριστέα, Γρηγόριον ἐν ὕμνοις, φαιδρῶς ἀνευφημήσωμεν.

www.tezaurliturgic.ro



Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Ρίζης ἐξ εὐσεβοῦς, βλαστὸς ὡραῖος ὤφθης, Γρηγόριε θεόφρον, καὶ πᾶσιν εὐσεβείας, τὸν λόγον διετράνωσας.

Στίχ. Στόμα δικαίου ἀποστάζει σοφίαν...

Ζήλῳ τῷ θερμουργῷ, τρωθεὶς τῆς ἀληθείας, Γρηγόριε τρισμάκαρ, αἱρέσεων καθεῖλες, τὸ θράσος τὸ ἀλλόφυλον.

Δόξα Πατρί. Τριαδικόν.

Δόξα σοι ὢ Τριάς, ἡ μία Θεαρχία, Πάτερ Υἱὲ καὶ Πνεῦμα· ἐλέησον τὸν κόσμον, εὐχαῖς τοῦ ὑπερμάχου σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἆισμα καινοπρεπές, ᾀδέτω πᾶσα κτίσις, τῷ ἐκ Παρθένου φύντι, Χριστῷ καὶ βαπτισθέντι, ἐν Ἰορδάνῃ σήμερον.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν εὐκλεῆ ἀριστέα, τῆς θείας πίστεως, τὸν οὐρανίῳ ζήλῳ, τοῦ ἐχθροῦ καθελόντα, πανσόφως τὰς ὑψώσεις τὸν θαυμαστόν, ἐν Πατράσι Γρηγόριον, καὶ Νυσσαέων ποιμένα τὸν ἱερόν, κατὰ χρέος εὐφημήσωμεν.

Αἱρετικῶν ἀλλοφύλων, τὸ θράσος ᾔσχυνας, τοῦ Πνεύματος πλουτήσας, οὐρανόθεν τὴν χάριν, Γρηγόριε θεόφρον· σὺ γὰρ πολλῇ, ταπεινώσει κοσμούμενος, ἐν ἀληθείᾳ ὑπέκλινας τῷ Χριστῷ, τὸν αὐχένα τῆς καρδίας σου.

Τῆς θεολέκτου δευτέρας, Συνόδου μέγιστος, ὑπέρμαχος ἐδείχθης, ζήλου πνέων ἐνθέου, Γρηγόριε τρισμάκαρ· σὺ γὰρ λαμπρῶς, ἐν σεπταῖς ὑφηγήσεσι, Μακεδονίου καθεῖλες τοῦ δυσσεβοῦς, τὰ ληρώδη φληναφήματα.

Προσόμοια ἕτερα. Ἦχος πλ. α΄. Ὅσιε Πάτερ.

Ὅσιε πάτερ, ἱερώτατε Γρηγόριε· ὁ κάλαμος ὁ πλήρης τῆς Παρακλήτου πνοῆς, καὶ γλῶσσα τρανοτάτη τῆς εὐσεβείας· λύχνος πολύφωτος, τῆς θείας αὐγῆς· κῆρυξ ἀληθείας, κρηπὶς θεολογίας· πηγὴ δογμάτων τῶν ὑψηλῶν· τῶν διδαγμάτων χειμάῤῥους τῶν μελιῤῥύτων· λύρα θεόφθογγος, ᾀσμάτων θεογράφων, ἡ καθηδύνουσα πιστῶν τὰς διανοίας. Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει πάνσοφε, τὸν ἐν ῥείθροις τοῦ Ἰορδάνου, ἀναπλάσαντα κόσμον, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὅσιε πάτερ, πανσεβάσμιε Γρηγόριε· ὁ πέλεκυς ὁ κόπτων αἱρετικῶν τὰς ὁρμάς· ἡ δίστομος ῥομφαία τοῦ Παρακλήτου· μάχαιρα τέμνουσα τὰς νόθους σποράς· πῦρ τὰς φρυγανώδεις αἱρέσεις καταφλέγον· καὶ πτύον ὄντως γεωργικόν, ᾧ τὸ βαρύ τε καὶ κοῦφον τῶν δογμάτων, εὖ διακρίνεται· καὶ στάθμη ἀκριβείας, πάντας ἰθύνουσα, πρὸς τρίβους σωτηρίας. Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει πάντοτε, τὸν ἐν ῥείθροις τοῦ Ἰορδάνου, ἀναπλάσαντα κόσμον, σῶσαι τὸ γένος ἡμῶν.

Ὅσιε πάτερ, παμμακάριστε Γρηγόριε· τὸ στόμα τὸ πηγάζον τὰς μακαρίας φωνάς, ἐκ τῶν ἀδαπανήτων τοῦ σωτηρίου, ἀπαρυόμενον καὶ θείων πηγῶν, λόγους προσευχῆς τε τοῖς πᾶσιν ἑρμηνεῦον· κανὼν ἰθύνων πρὸς ἀρετήν· ὁ θεωρίαις ἐνθέοις λελαμπρυσμένος, αἴγλῃ λαμπόμενος, Τριάδος τῆς ἀκτίστου, ἧς καὶ ὑπέρμαχος, ἀήττητος ἐγένου. Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, τὸν ἐν ῥείθροις τοῦ Ἰορδάνου, ἀναπλάσαντα κόσμον, σῶσαι τὸ γένος ἡμῶν.

Δόξα Πατρί. Ἦχος δ΄. Ἀνατολίου.

Τὸν τῆς σοφίας λόγον σου, καταγλαΐσας ἐν ἀρετῇ ἀπροσίτῳ, περικαλλὴς ἀμφοτέρωθεν γέγονας, Νυσσαέων Γρηγόριε, ἐν τῇ θεοφθόγγῳ σου φωνῇ, ὡραΐζων καὶ τέρπων τὸν λαὸν γνωστικῶς, Τριάδος τὸ ὁμόθεον πανσόφως ἐκτιθέμενος. Ὅθεν καὶ ἐν ὀρθοδόξοις δόγμασι, τὰς ἀλλοφύλους αἱρέσεις ἐκπολεμήσας, τὸ κράτος τῆς πίστεως, ἐν τοῖς πέρασιν ἤγειρας. Χριστῷ παριστάμενος σὺν τοῖς ἀΰλοις λειτουργοῖς, ταῖς ψυχαῖς ἡμῶν αἴτησαι, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Κοσμᾶ Μοναχοῦ.

Ἔτρεμεν ἡ χεὶρ τοῦ Βαπτιστοῦ, ὅτε τῆς ἀχράντου σου κορυφῆς ἥψατο· ἐστράφη Ἰορδάνης ποταμὸς εἰς τὰ ὀπίσω, μὴ τολμῶν λειτουργῆσαί σοι· ὁ γὰρ αἰδεσθεὶς Ἰησοῦν τὸν τοῦ Ναυῆ, πῶς

www.tezaurliturgic.ro



τὸν Ποιητὴν αὐτοῦ, δειλιᾶσαι οὐκ εἶχεν; Ἀλλὰ πᾶσαν ἐπλήρωσας οἰκονομίαν Σωτὴρ ἡμῶν, ἵνα σώσῃς τὸν κόσμον, τῇ ἐπιφανείᾳ σου, μόνε φιλάνθρωπε.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 111 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Ἐπισκόπου Νεοκαισαρείας.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α'.

Ἡ σοφία τοῦ Θεοῦ, ἡ τὰς ὁσίας καρδίας ἀγαπῶσα, ἐν σοὶ ἐπανεπαύσατο, ὅσιε πάτερ Γρηγόριε· ὅθεν ἐν αὐτῇ ἀληθῶς, τῶν μωρολόγων αἱρέσεων, τὰς ὁρμὰς ἀνεχαίτισας, καὶ ἐκόσμησας τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, τοῖς πολυσόφοις λόγοις σου, σὺν τοῖς ἄλλοις τῆς ζωῆς σου προτερήμασι. Διὸ τὸ τῆς δικαιοσύνης διάδημα, ἀνεδήσω ὡς τῆς πίστεως ἀριστεύς, καὶ τροπαιοῦχος πολύφημος, πρεσβεύων τῷ Κυρίῳ ἐκτενῶς, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Τὸ Πνεῦμα τὸ Ἅγιον, ἀπρόσιτον τῇ φύσει, χωρητὸν δὲ δι' ἀγαθότητα, καὶ κατ' ἀναλογίαν τῆς πίστεως, διαιροῦν τὴν ἐνέργειαν, τὴν γλῶσσάν σου ὥσπερ πλῆκτρον ἀνακινῆσαν, Ὀρθοδοξίᾳ τὴν Ἐκκλησίαν ἐστήριξεν· ἔκραζες γὰρ Μακεδονίου ἐλέγχων τὸ βλάσφημον· Θεὸς ἀληθινὸς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ἐκ Πατρὸς ἀϊδίως ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον· σύνθρονον συνάναρχον καὶ συναΐδιον, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, τὸ Πνεῦμα ἀληθῶς. Ὅθεν Ἱεράρχα Γρηγόριε, τῶν Ὀρθοδόξων ἀνεδείχθης φωστήρ, περιαστράπτων ἀνεσπέρως, ταῖς ἀκτῖσι τῆς σοφίας σου.

Ἦχος πλ. α'.

Ὅσιε πάτερ, παναοίδιμε Γρηγόριε, ἐν τῷ νόμῳ τοῦ Θεοῦ, φερωνύμως γρηγορήσας, τὴν ἔλλαμψιν ἐκληρώσω τοῦ Πνεύματος· καὶ ἱερατικῶς διαπρέψας, ὡς Ἱεράρχης πρᾶος καὶ ἄμεμπτος, τῶν Νυσσαέων ἐμαρτυρήθης φωστήρ, καὶ ὀρθοδόξων Πατέρων Πατήρ. Ὅθεν σήμερον οἱ εὐσεβεῖς, ἐν τῇ μνήμῃ σου ἀγαλλόμενοι, μεσίτην σε τῷ Κυρίῳ προσάγομεν, τῷ Σωτῆρι τοῦ κόσμου.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Ὡς ἀλουργίδα θεοΰφαντον, τοῦ Παρακλήτου ἐνδεδυμένος τὴν δύναμιν, ἐν τῇ δευτέρᾳ παρεγένου Συνόδῳ τῶν Πατέρων, Ἱεράρχα Γρηγόριε παναοίδιμε· ἔνθα τὸ στόμα σου διανοίξας, ὑπεραφθόνως ἀνέβλυσας νάματα, θεολογίας τὰ ζωήῤῥυτα. Ὅθεν ὡς δι' ἑνὸς στόματος, οἱ ἐν τῇ Συνόδῳ Πατέρες ἐκραύγαζον· Κατῄσχυνται Μακεδόνιος, πεφίμωται Εὐνόμιος, τετράνωται ἡ ἀλήθεια, τοῦ φωστῆρος τῶν Νυσσαέων, πνευματικῶς λαλήσαντος. Ἀλλ' ὦ Πάτερ τρισμέγιστε, δέχου καὶ παρ' ἡμῶν, τὰ ἐξ ἀγάπης ἐγκώμια, καὶ καθικέτευε Χριστὸν διαπαντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Ἀνατολίου.

Νάματα Ἰορδάνεια περιεβάλου Σωτήρ, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον· καὶ ἔκλινας κορυφὴν τῷ Προδρόμῳ, ὁ τὸν οὐρανὸν μετρήσας σπιθαμῇ· ἵνα ἐπιστρέψῃς κόσμον ἐκ πλάνης, καὶ σώσῃς τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Φόβῳ στοιχειούμενος Θεοῦ, τῆς ὑπερκοσμίου σοφίας, γλῶσσα ἐδείχθης λαμπρά, ὅσιε Γρηγόριε, τρανῶς κηρύττουσα, ἱεραῖς ὑφηγήσεσι, τὸ τῆς εὐσεβείας, ἐν Χριστῷ μυστήριον, θεομακάριστε. Ὅθεν ἡ Χριστοῦ Ἐκκλησία, ὡς αὐτῆς διδάσκαλον θεῖον, σήμερον γεραίρει σε ἐν ᾄσμασι.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Βλύσας ὡς θεόῤῥυτος πηγή, τῶν τῆς εὐσεβείας δογμάτων, τοὺς μυστικοὺς ποταμούς, ὅσιε Γρηγόριε, πιστῶν κατήρδευσας, δαψιλῶς τὰ συστήματα, καὶ τῆς ἀσεβείας, τὴν ὀφρὺν κατέκλυσας, τὴν ψυχολέτειρα. Ὅθεν ἡ Χριστοῦ Ἐκκλησία, σήμερον τὴν θείαν σου μνήμην, κατὰ χρέος ἄγει εὐφημοῦσά σε.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν...

Τεῖχος ἀνεδείχθης ἀῤῥαγές, καὶ ἀκαταμάχητος πύργος, τῆς Ἐκκλησίας Χριστοῦ, ὅσιε Γρηγόριε, τῆς Νύσσης πρόεδρε, καταισχύνας τὴν ἔφοδον, ἐχθροῦ τοῦ πανώλους, ὅπλοις τῆς σοφίας σου, ὡς γενναιότατος. Ὅθεν οἱ πιστοὶ συνδραμόντες, τὴν παμφαεστάτην σου μνήμην, σήμερον λαμπρῶς πανηγυρίζομεν.

www.tezaurliturgic.ro



Δόξα Πατρί. Ἦχος δ΄. Ἀνατολίου.

Βίον ἔνθεον κατορθώσας, θεωρίᾳ τὴν πρᾶξιν κατελάμπρυνας, θεοφάντορ Γρηγόριε· τὴν γὰρ σοφίαν φιλήσας ἔρωτι θείῳ, ἐκ στόματος τοῦ Πνεύματος, τὴν χάριν κατεπλούτησας· καὶ ὡς κηρίον μέλιτος, τὸν γλυκασμόν σου τῶν λόγων ἀποστάξας, ἀεὶ εὐφραίνεις νοήμασι θείοις, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Διὸ ἐν οὐρανοῖς, ἱεραρχικῶς αὐλιζόμενος, ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε, τῶν ἐκτελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Κοσμᾶ Μοναχοῦ.

Σὲ τὸν ἐν Πνεύματι καὶ πυρί, καθαίροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καθορῶν ὁ Βαπτιστὴς ἐρχόμενον πρὸς αὐτόν, δειλιῶν καὶ τρέμων, ἐβόα λέγων· Οὐ τολμῶ κρατῆσαι τὴν κορυφήν σου τὴν ἄχραντον· σύ με ἁγίασον Δέσποτα, τῇ Ἐπιφανείᾳ σου, μόνε φιλάνθρωπε.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς σοφίας τὸν πλοῦτον, θησαυρίσας Γρηγόριε, τὴν τῶν μωρολόγων πτωχείαν, θεοσόφως διήλεγξας· καὶ πλοῦτον ἐναπέθεσας πολύν, Χριστοῦ τῇ Ἐκκλησίᾳ ἀληθῶς, θεολόγων σου δογμάτων τοὺς θησαυρούς· διό σοι ἀναβοῶμεν· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, πρέσβυν ἀκοίμητον.

Τὸ τῆς Ἑορτῆς καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Εὐφραίνεται λαμπρῶς, φιλεόρτων ὁ δῆμος, Γρηγόριε σοφέ, τῇ ἁγίᾳ σου μνήμῃ, καὶ πόθῳ ἀνακράζει σοι· Χαίροις Πάτερ σεβάσμιε, ὁ ὑπέρμαχος, τῆς Παναγίας Τριάδος, καὶ προπύργιον, τῶν εὐσεβῶς προσιόντων, τῇ θείᾳ πρεσβείᾳ σου.

Δόξα Πατρί. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Συγκραθεὶς τοῦ Πνεύματος, ὅλος τῇ αἴγλῃ θεόφρον, φωστὴρ ὤφθης πάμφωτος, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, λάμψεσι, τῶν θεοσόφων σου διδαγμάτων, ζόφωσιν, τῆς ἀσεβείας ἀποδιώξας, θεόῤῥημον Ἱεράρχα, τῶν Νυσσαέων ποιμὴν Γρηγόριε.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ Δεσπότης σήμερον, ἐν Ἰορδάνῃ ἐπέστη, βαπτισθεὶς ἐν ὕδασιν, ὑπὸ τοῦ θείου Προδρόμου· ἄνωθεν, ὁ Πατὴρ δὲ προσεμαρτύρει· Οὗτός ἐστιν ὁ Υἱὸς ὁ ἀγαπητός μου· καὶ τὸ Πνεῦμα ἐπεφάνη, ἐν ξένῃ θέᾳ, περιστερᾶς ἐπ᾽ αὐτόν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἡ τῶν λόγων σου χάρις τῶν θεϊκῶν, καὶ δογμάτων τὸ ὕψος τῶν μυστικῶν, θείας ἡμῖν γέγονεν, ἀναβάσεως κλίμαξ· πνευματικὴν γὰρ κτησάμενος, τοῦ λόγου τὴν σάλπιγγα, ἐν αὐτῇ ἐκήρυξας, τὰ θεῖα διδάγματα· ὅθεν καὶ εἰς τόπον, κατεσκήνωσας χλόης, σαφῶς σου τὸ ποίμνιον, ὁδηγήσας τῆς χάριτος, Ἱεράρχα Γρηγόριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα Πατρί. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τὴν ἀμείνονα ζωήν, ἀπολαβὼν ἐν οὐρανοῖς, καὶ τῆς κρείττονος χαρᾶς, ἐν τοῖς ὑψίστοις μετασχών, τῆς εὐσεβείας Γρηγόριε ἡ κινύρα, τοὺς ἀπὸ ψυχῆς, εὐφημοῦντάς σε, καὶ πανευλαβῶς, προσιόντας σοι, τῆς τοῦ ἐχθροῦ διάσωσον κακίας, καὶ τῶν ἐν βίῳ στενώσεων· τὴν παῤῥησίαν, πολλὴν γὰρ ἔχεις, ὡς Κυρίου θεράπων.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Θεοφανείας ὁ καιρός· Χριστὸς ἐπέφανεν ἡμῖν, ἐν Ἰορδάνῃ ποταμῷ· δεῦτε ἀντλήσωμεν πιστοί, ὕδωρ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν. Χριστὸς γὰρ ἐν σαρκί, ἐπεδήμησε, τὸ πρόβατον ζητῶν, τὸ θηριάλωτον· καὶ ἀνευρὼν εἰσήγαγεν ὡς εὔσπλαγχνος, εἰς τὸν Παράδεισον αὖθις. Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ, καὶ τὸν κόσμον ἐφώτισε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τῆς Τριάδος μαχητήν σε πραότατον, καὶ εὐσεβείας στρατιώτην ἀήττητον, ἀπὸ ψυχῆς γεραίρομεν Γρηγόριε· σὺ γὰρ τῇ τῶν λόγων σου, κραταιᾷ παντευχίᾳ, ψεύδους τὴν παράταξιν, ἐτροπώσω ἀνδρείως, καὶ θείας νίκης στέφανον λαμπρῶς, παρὰ Θεοῦ ἐκομίσω ἀοίδιμε.

www.tezaurliturgic.ro



Δόξα Πατρί. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Τοῖς οἰκτιρμοῖς σου ὁ Θεὸς δυσωπούμενος, τὸ πλανηθὲν ἀπολωλὸς ἐξεζήτησας, διὰ σπλάγχνα ἐλέους σου Φιλάνθρωπε. Ὅθεν παραγέγονας, ἐπὶ τὸν Ἰορδάνην, γνωρίσαι τὸ μυστήριον, τῆς Ἁγίας Τριάδος· καὶ ἀνυμνοῦντες κράζομεν πιστῶς· ἦλθες ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Εὐαγγέλιον, ζήτει τῇ ιγ΄ Νοεμβρίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Συνδιασκεψάμενος τὰ τοῦ Πνεύματος, ἐν Πνεύματι πάτερ Γρηγόριε, μύστης τῶν αὐτοῦ μυστηρίων γέγονας· ἔνθεν τὰς τῶν ἁγίων σου δογμάτων, ὑψηγορίας χρώμενος, Ὀρθοδοξίᾳ τὴν Ἐκκλησίαν ἐστήριξας, καὶ τοὺς βλασφήμως φρονοῦντας, πνευματικῶς κατῄσχυνας. Ὅθεν χαρμονικῶς, τῶν Ὀρθοδόξων τὰ συστήματα σήμερον, τὴν μνήμην σου γεραίροντες, Τριάδα τὴν Ἁγίαν, ἐν μιᾷ Θεότητι δοξάζομεν, ὡς ὑπὸ σοῦ θεοφόρε ἐδιδάχθημεν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Ἑορτῆς καὶ οἱ Κανόνες τοῦ Ἁγίου. Κανὼν πρῶτος τοῦ Ἁγίου, ἄνευ Ἀκροστιχίδος. Ποίημα Ἰωάννου Μοναχοῦ.

Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

Ἄβυσσος ὢν σοφίας, καὶ γνώσεως θησαυρός, καὶ αὐτοαγαθότης, φωτοχυσίαν νέμοις μοι, Χριστὲ τῆς ἐνδόξου σου, Ἐκκλησίας ᾄσμασι, τὸν φωστῆρα ὑμνεῖν Γρηγόριον.

Δέχοιο διδασκάλων, Γρηγόριε τὸ λαμπρόν, ἐγκαλλώπισμα πάτερ, τὸ πενιχρὸν ἐφύμνιον, τῇ σῇ προσφερόμενον, ἐξ ἀγάπης μνήμῃ, ἐν ᾗ Χριστὸν ἡμῖν ἐξιλέωσαι.

Λόγῳ ἱερομύστα, πλουσίῳ τε καὶ σοφῷ, τὴν σεπτὴν Ἐκκλησίαν, θεολογεῖν ἐδίδαξας, Μονάδα τρισάριθμον, καὶ Τριάδα σύνθρονον, καὶ ὁμότιμον ὦ Γρηγόριε.

Θεοτοκίον.

Πίστις ἡγείσθω μόνη, καὶ μὴ ἀπόδειξις, τῶν ὑπὲρ νοῦν θαυμάτων, Θεογεννῆτορ Κόρη τῶν σῶν· τὸν γὰρ ἀκατάληπτον, Θεὸν Λόγον τέτοκας, ἐνδυσάμενος τὴν ἀνθρωπότητα.

Κανὼν δεύτερος τοῦ Ἁγίου, ἄνευ Ἀκροστιχίδος. Ποίημα Γερμανοῦ, οἱ δὲ Θεοφάνους.

Ἦχος πλ. δ΄. Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ.

Τῷ ἀνατείλαντι ἑωσφόρον, πνευματικῆς δαδουχίας, ἐν τῷ στερεώματι τῆς πίστεως Γρηγόριον, ᾄσωμεν τῷ Χριστῷ, ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Ὡραιωθέντι ἐν διανοίᾳ, καὶ ἐν τῷ κάλλει τῶν λόγων, ἐξεχύθη χάρις σου ἐν χείλεσιν Ὅσιε, ἥτινι μυστικῶς, Χριστὸς εὐλόγησέ σε εἰς τοὺς αἰῶνας.

Ἐκ τοῦ πελάγους τῶν θείων λόγων, τὸν μαργαρίτην ἀληθῶς, τὸν τῆς εὐσεβείας ἀνιμήσω Γρηγόριε, διδαχαῖς τοὺς πιστούς, ταῖς ὑπερτίμοις πλουτίζοντα ἐνθέως.

Θεοτοκίον.

Τὴν ἐν γαστρὶ Χριστὸν συλλαβοῦσαν, τὸν ἀπερίληπτον Λόγον, καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον Παρθένον ἁγνήν, ἅπαντες οἱ πιστοί, ὡς Θεοτόκον ὑμνήσωμεν ἀπαύστως.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Ὁ πήξας ἐπ᾽ οὐδενός.

Σαρκὸς μὲν τῷ ἡγεμόνι νῷ τὰ σκιρτήματα, τῷ Παμβασιλεῖ δὲ τὸν νοῦν ὑπέταξας. Ὅθεν ἀπροσκόπτως τὴν ὁδόν, τῶν ἐντολῶν ἀνύσας, σὺ τῆς Τριάδος ἐνδιαίτημα, γέγονας εἰκότως Γρηγόριε.

Τῇ πράξει τὴν θεωρίαν Πάτερ προσέθηκας· διὸ τὰς ἡνίας τῆς Ἐκκλησίας σοι, φέρων ἐγχειρίζει ὁ Χριστός· ἥνπερ ἀνεπιλήπτως, ὡς μυστηπόλος ἐκυβέρνησας, ἄριστος παμμάκαρ Γρηγόριε.

Προβαίνων τῶν ἀρετῶν τῷ ὄρει Γρηγόριε, καὶ τὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ σου, σὺ διατιθέμενος ἐκ γῆς, ἤρθης ἀλήκτῳ δρόμῳ, πρὸς ἐπουράνιον πολίτευμα, πρὸ τῆς ἐκ σαρκὸς ἐκδημίας σου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Σὺ Μήτηρ Θεοῦ ἀσυνδυάστως γεγένησαι, τοῦ ἐξ ἀκηράτου Πατρὸς ἐκλάμψαντος, ἄνευθεν ὠδίνων μητρικῶν· ὅθεν σε Θεοτόκον, σεσαρκωμένον γὰρ ἐκύησας, Λόγον ὀρθοδόξως κηρύττομεν.

Κανὼν δεύτερος. Οὐκ ἔστιν ἅγιος.

Ὡς λύραν τῆς χάριτος, μελῳδήσασαν ἡμῖν, τῇ ὑφηγήσει τοῦ Πνεύματος, τὸν λόγον τῆς πίστεως, ἐν ᾠδαῖς ἐπαξίως, Γρηγόριον ἅπαντες, τὸν πάνσοφον τιμήσωμεν.

Τὴν τρίβον τῆς πίστεως, ὁμαλίζων εὐσεβῶς, καὶ τὰ τῆς πλάνης προσκόμματα, ἐκβάλλων Γρηγόριε, ὁδηγεῖς ἡμᾶς πάτερ, εἰς τὴν ἐπουράνιον, πόλιν τοῦ Θεοῦ ἡμῶν.

Τὰ θρέμματα Ὅσιε, τὰ λογικὰ πνευματικῇ, ἀνακαλούμενος σύριγγι, τῶν θείων δογμάτων σου, εἰς τὰς τῆς Ἐκκλησίας, ἐπαύλεις φυλάττεις, Χριστῷ τῷ Ἀρχιποίμενι.

Ὡς φοῖνιξ θεόφυτος, ταῖς διεξόδοις τῶν Γραφῶν, πεφυτευμένος Γρηγόριε, καρποὺς ἀνεβλάστησας, διδαγμάτων ἐνθέων· διό σου πανσεβάσμιε, τιμῶμεν τὰ μνημόσυνα.

Θεοτοκίον.

Παρθένος ἔτεκες, ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας, Μῆτερ ἀνύμφευτε, Θεοτόκε Μαρία· Χριστὸν τὸν Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι ἡμᾶς.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Θείαν ἔλλαμψιν, κεκληρωμένος, βίον ἄϋλον, ἐξησκημένος, ὁμωνύμῳ ἱερατείᾳ διέπρεψας· ὑπερφυῶς γὰρ τρανώσας τὰ δόγματα, Ὀρθοδοξίᾳ τὸν κόσμον ἐστήριξας. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Μωρολόγων ᾔσχυνας, τὰς ἐπινοίας, θεολόγῳ γλώττῃ σου, πάτερ Γρηγόριε σοφέ, καὶ τῆς Τριάδος ἐτράνωσας, ὡς θεηγόρος, τὸ μέγα μυστήριον.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐν τοῖς ῥείθροις βλέψας σε, τοῦ Ἰορδάνου, βαπτισθῆναι θέλοντα, ὁ μέγας Πρόδρομος Χριστέ, ἐν εὐφροσύνῃ ἐκραύγαζεν· Ἦλθες ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Τὴν θείαν ἐννοήσας σου.

Ὡς στῦλος καθωράθης ὁλόφωτος, βίῳ τε λόγῳ τε θερμῷ, Ὀρθοδοξίας Γρηγόριε, πεπυρσευμένος τῷ ζήλῳ, τοῦ νέου Ἰσραὴλ προηγούμενος.

Τὴν χάριν δεδεγμένος τοῦ Πνεύματος, τὸ εὐτελὲς τοῦ νομικοῦ, διεῖλες ἔνδυμα γράμματος, καὶ τὸ κρυπτόμενον κάλλος, ἡμῖν τῶν ἐννοιῶν ἀπεκάλυψας.

Τοῦ θείου προελθοῦσαν ἐκ στόματος, θεοπαράδοτον εὐχήν, συντετμημένως Γρηγόριε, ὡς μυστηπόλος τῶν θείων, σαφῶς τῇ Ἐκκλησίᾳ ἐπλάτυνας.

Θεοτοκίον.

Ἐκτὸς μὲν συναφείας συνέλαβες, ἀδιαφθόρως ἐν γαστρί, καὶ πρὶν ὠδινῆσαι τέτοκας· καὶ μετὰ τόκον Παρθένος, Θεὸν σαρκὶ τεκοῦσα πεφύλαξαι.

Κανὼν δεύτερος. Ἐξ ὄρους κατασκίου.

Βέλος ἐκλεκτὸν Θεοῦ ἐδείχθης Πάτερ, ἀναιρετικὸν βλασφήμων νοημάτων, ἐν τῇ φαρέτρᾳ τοῦ λόγου τῆς ἀληθείας, πνευματικῶς εἰπεῖν σκεπόμενον.

Ξύλον σε ζωῆς παμφόρου εὐσεβείας, οὗπερ τῷ καρπῷ ὁ ὄφις οὐ προστρέχει, πεφυτευμένον ἐν μέσῳ τοῦ Παραδείσου, τῆς Ἐκκλησίας Πάτερ ἔχομεν.

Ἔχουσα τῶν σῶν δογμάτων τὰς ἐπάλξεις, τεῖχος νοητὸν Χριστοῦ ἡ Ἐκκλησία, τοῦ Βασιλέως γνωρίζεται τοῦ μεγάλου, ὀχυρωμένη πόλις ἄσειστος.

Θεοτοκίον.

Δόξα σοι τῷ ἐκ Παρθένου γεννηθέντι, καὶ ἐπιφανέντι ῥύσασθαι ἐκ πλάνης, τοῦ διαβόλου τὸν κόσμον ὡς εὐεργέτῃ, Χριστῷ τῷ μόνῳ ζωοδότῃ Θεῷ.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ὁ ἀναβαλλόμενος.

Σὺ ὡς πῦρ κατέφλεξας, τὰς τῶν αἱρέσεων, ἀκανθηφόρους πλοκὰς τῶν λόγων, τῶν πιστῶν τὰς φρένας δέ, ἐφώτισας μάκαρ, μυσταγωγὲ Γρηγόριε.

Εὐνομίου ἤλεγξας, σὺ τὸ ἀνόμοιον, καὶ τούτου λόγους δυσδιαφεύκτους, τῶν ἀρκύων βρόχους τε σφοδρούς, ὡς ἀράχνης ὑφάσματα διέλυσας.

www.tezaurliturgic.ro



Ἤλεγξας πανάριστε, τὸν ἀθεώτατον Μακεδόνιον, τὸ θεῖον Πνεῦμα, ἀδεῶς ὑβρίσαντα, ὡς ἄμοιρον τούτου, ὑπάρχοντα Γρηγόριε.

Θεοτοκίον.

Σὺ δικαιοσύνην τε καὶ ἀπολύτρωσιν, ἡμῖν τεκοῦσα, Χριστὸν ἀσπόρως, ἐλευθέραν ἔδρασας ἀρᾶς Θεοτόκε, τὴν φύσιν τοῦ Προπάτορος.

Κανὼν δεύτερος. Ὁ ἐκ νυκτὸς ἀγνοίας.

Τὸν γρηγοροῦσαν φρένα, ἐν μυστικοῖς θεωρήμασι πάντοτε, πάντες τὸν θεοφόρον, Γρηγόριον ἐν ὕμνοις τιμήσωμεν.

Οἱ διαπλέοντές σου, θαυμαστικῶς τῶν δογμάτων τὸ πέλαγος, τύχοιμεν ἐν γαλήνῃ, εὐχαῖς σου τοῦ λιμένος τῆς ἄνω ζωῆς.

Ἐν ἀγρυπνίαις Πάτερ, καὶ ἐν νηστείαις καθάρας τὸν νοῦν ἑαυτοῦ, πρὸς μετάρσιον ὕψος, οὐρανοπολίτης ἐδείχθης ἡμῖν.

Θεοτοκίον.

Ὡς βασιλίδα πάντες, καὶ βασιλέα τῶν ὅλων κυήσασαν, δεῦτε σὺν τῷ Ἀγγέλῳ, τὴν εὐλογημένην δοξάσωμεν.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Μαινομένην κλύδωνι.

Ταπεινὸν τὸ φρόνημα, κεκτημένος, πᾶσί τε πραΰς, μαχητὴς ἐδείκνυσο Γρηγόριε, πρὸς τοὺς Χριστοῦ, μειοῦν τὴν δόξαν σπουδάζοντας.

Τὴν Ἀρείου ἔκφυλον, τῆς Τριάδος, λόγῳ δαψιλεῖ, τολμηρὰν διαίρεσιν Γρηγόριε, σὺ παντελῶς, καθῄρηκας τῇ σοφίᾳ σου.

Ἀμαθῶς τὴν ἕνωσιν, τῆς Τριάδος, σύγχυσιν ἀφρονῶν, ὑπὸ σοῦ Σαβέλλιος ἐλήλεγκται, θεομαχῶν, Γρηγόριε παμμακάριστε.

Θεοτοκίον.

Ἡ Παρθένος ἔτεκες, καὶ τεκοῦσα, ἔμεινας ἁγνή, ἐν χερσὶ τὸν φέροντα τὰ σύμπαντα, ὡς ἀληθῶς, Παρθένος Μήτηρ βαστάσασα.

Κανὼν δεύτερος. Χιτῶνά μοι παράσχου.

Τοῦ γράμματος τὸν βότρυν λογικῶς, ἐκθλίψας Γρηγόριε, τὸν οἶνον τοῦ Πνεύματος, τὸν εὐφραίνοντα καρδίας πάτερ ἤντλησας.

Ξηράνας Εὐνομίου θολερῶν, δογμάτων τὸν χείμαῤῥον, Γρηγόριε πάνσοφε, ποταμὸς τῆς εὐσεβείας ἐγνωρίσθης ἡμῖν.

Γρηγόριον ὑμνήσωμεν πιστοί, τὸν πλοῦτον τῆς πίστεως, ἡμῖν θησαυρίσαντα, καὶ θεωρίαις μυστικαῖς ἡμᾶς φωτίσαντα.

Θεοτοκίον.

Ἡ μόνη διὰ λόγου ἐν σαρκί, τὸν Λόγον κυήσασα, ῥῦσαι δεόμεθα, τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος α΄. Χορὸς Ἀγγελικός.

Τὸ ὄμμα τῆς ψυχῆς, γρηγορῶν Ἱεράρχα, ὡς γρήγορος ποιμήν, ἀνεδείχθης τῷ κόσμῳ· καὶ ῥάβδῳ τῆς σοφίας σου, παμμακάριστε ὅσιε, πάντας ἤλασας, τοὺς κακοδόξους ὡς λύκους, ἀδιάφθορον, διατηρήσας σὴν ποίμνην, Γρηγόριε πάνσοφε.

Ὁ Οἶκος. Τὸ φοβερόν σου κριτήριον.

Ἐξ ἀμελείας ὁ δείλαιος ἀναπέπτωκα, καὶ πρὸς θάνατον ὕπνωσα· ἀλλ᾽ ὡς ποιμὴν γρηγορώτατος, ἔγειρόν με Πάτερ, καὶ τὰ πάθη μου κοίμισον, τὰ κακῶς τυραννοῦντά με· ὅπως ἐξανιστάμενος, καθαρῶς ᾄδω σου τὴν φωσφόρον μετάστασιν, ἣν ὁ Δεσπότης τῆς οἰκουμένης ἐδόξασεν ἀξίως, ὡς οἰκέτου πιστοτάτου, ὡς δογματιστοῦ πανσόφου, ὡς φίλου καὶ μύστου, καὶ ὡς οἰκονόμου τῶν αὐτοῦ παραδόσεων· ὧν καλῶς ἐφύλαξας τὴν χρῆσιν ἀμίαντον, Γρηγόριε πάνσοφε.

Ἕτερον Κοντάκιον. Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Τῆς Ἐκκλησίας ὁ ἔνθεος Ἱεράρχης, καὶ τῆς σοφίας σεβάσμιος ὑμνογράφος, Νύσσης ὁ γρήγορος νοῦς Γρηγόριος, σὺν Ἀγγέλοις χορεύων, καὶ ἐντρυφῶν τῷ θείῳ φωτί, πρεσβεύει ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος. Τράνωσόν μου τὴν γλῶτταν.

Αἴγλῃ φρικτῇ ὁ λάμψας ἐν κόσμῳ ὑπὲρ ἥλιον Λόγε, καὶ ἀκτῖσι φωτὸς φαιδρύνας Σῶτερ τὰ σύμπαντα· σὺ ὁ ἐν τοῖς ὕδασι τοῦ Ἰορδάνου, ὡς βροτὸς βαπτισθῆναι καταξιώσας, πλῦνόν μου τοὺς ῥύπους ἅμα καὶ σπίλους τῶν πολλῶν ἐγκλημάτων, παρέχων μοι χάριν τοῦ μέλψαι τὸν σοφὸν Ἱεράρχην καὶ μύστην σου· μεσίτην γὰρ αὐτὸν ἄγω σοι, καὶ δυσωπῶν ἀνακράζω ἀεί, πρεσβεύειν ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Μηνολόγιον.

Τῇ Ι΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις

www.tezaurliturgic.ro



πατρὸς ἡμῶν Γρηγορίου Ἐπισκόπου Νύσσης.

Στίχοι.

Ἡ Μοῦσα Γρηγόριος, οὗ Νύσσα θρόνος,
Οὐ Πιερίαν, ἀλλ' Ἐδὲμ σκηνὴν ἔχει.

Γρηγόριον δεκάτη θανάτου κνέφας ἀμφεκάλυψεν.

Συναξάριον.

Οὗτος ἦν ἀδελφὸς τοῦ Μεγάλου Βασιλείου, λαμπρὸς ἐν λόγοις καὶ τῆς Ὀρθοδόξου πίστεως ζηλωτής· διάτοι τοῦτο καὶ τῆς Ἐκκλησίας Χριστοῦ προέστη. Καὶ μετὰ τῶν συγκροτούντων τὴν ἐν Κωνσταντινουπόλει δευτέραν Σύνοδον κατὰ τῶν δυσσεβῶν αἱρέσεων ἐνισταμένων, ἐλθών, ὑπέρμαχος εὑρέθη, τοὺς ἐναντίους λόγων δυνάμει καὶ γραφικαῖς ἀποδείξεσι τροπωσάμενος· διὰ γὰρ πάσης ἐλθὼν ἰδέας λόγων καὶ ἀρετῆς εὐδοκιμήσει, τὸ κράτος ἐδέξατο. Καὶ φθάσας ἐν γήρᾳ καλῷ ἐκοιμήθη καὶ πρὸς Κύριον ἐξεδήμησεν. Ἦν δέ, κατὰ τὸν τοῦ σώματος τύπον, κατὰ πάντα τῷ ἀδελφῷ Βασιλείῳ προσεοικώς, πλὴν τοῦ πολιοῦ καὶ χαριεστάτου ἐπὶ βραχύ.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ὁ ὑπερυψούμενος.

Ἔρωτι ἑνούμενος, τρισαυγοῦς Θεότητος, τῷ φέγγει Γρηγόριε, τοῖς πᾶσιν ὡς ἔσοπτρον, ἐκστίλβων ἀπαστράπτεις, τοῦ φωτὸς ἀντανακλάσεις.

Θησαυρὸν τοὺς λόγους σου, πατρικῶς κατέλιπες, ἠθῶν ψυχῆς κάθαρσιν, καὶ γνώσεως πλήρωσιν, τοῖς πίστει μελῳδοῦσιν· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Πρῶτον νοῦν καὶ αἴτιον, Πατέρα κατήγγειλας, Λόγου μὲν Γεννήτορα, ὁμοῦ Προβολέα τε, τοῦ Πνεύματος Τριάδα, μελῳδῶν· Εὐλογητὸς εἶ.

Θεοτοκίον.

Μίαν μὲν ὑπόστασιν, ἐν δυσὶ ταῖς φύσεσι, Πανάμωμε τέτοκας, Θεὸν σωματούμενον, ᾧ πάντες μελῳδοῦμεν· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Κανὼν δεύτερος. Ὁ ἐν ἀρχῇ τὴν γῆν.

Ὁ παρασχών, τῷ σοφῷ Ἱεράρχῃ, τὴν δύναμιν τοῦ Ἁγίου Πνεύματος, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Καὶ σιωπῶν, ταῖς ἀρεταῖς σου Πάτερ, πάντας ἡμᾶς ἐδίδαξας κραυγάζειν· Εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὁ τὴν ἰσχύν, παρασχὼν τῷ Ὁσίῳ, καταβαλεῖν ἐχθροῦ τὰς ἐπινοίας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὁ ἐν γαστρί, τῆς Παρθένου οἰκήσας, καὶ ἐν αὐτῇ τὸν Ἀδὰμ ἀναπλάσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Σοὶ τῷ παντουργῷ.

Ὅλην τὴν αὐγήν, τοῦ Παρακλήτου μάκαρ, ἐδέξω φωτίζουσαν, κραυγάζων Ὅσιε· Πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Βρύουσιν ἡμῖν, κατὰ τὸν θεῖον λόγον, Χριστοῦ ἐκ κοιλίας σου, ποταμοὶ γνώσεως· ὄντως πηγὴν γάρ, ἀέναον ἡ χάρις, ἔδειξε τῷ κόσμῳ, σὲ Πάτερ εἰς αἰῶνας.

Ὢ τῆς θαυμαστῆς, ἀδελφικῆς δυάδος, σαρκί τε ὁμαίμονος, τὰ θεῖα σύμφρονος! ταύτην ὑμνοῦντες, Βασίλειον ἐνδίκως, ἅμα Γρηγορίῳ, τιμῶμεν εἰς αἰῶνας.

Θεοτοκίον.

Σὲ τὴν ὑπὲρ νοῦν, θεανδρικῶς τὸν Λόγον, Παρθένε κυήσασαν, καὶ παρθενεύουσαν, πάντα τὰ ἔργα, ἀξίως εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Τὸν ἐν ὄρει ἁγίῳ.

Τὸν ἐν πίστει ἐλπίδι καὶ ἀγάπῃ, καὶ τῷ ὕψει, τῶν θείων διδαγμάτων, πνευματικῶς τὸν Ὅσιον κοσμήσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ὁπλίτην τῆς θείας παντευχίας, ἀναδείξαντα τὸν μέγαν Ἱεράρχην, τῆς ἀσεβείας φάλαγγα τροπούμενον, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Τῶν ἐνθέων διδάσκαλον δογμάτων, καὶ ἀναιρέτην βλασφήμων διδαγμάτων, τὸν Ἱεράρχην πᾶσιν ἀναδείξαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Τὸν ἐν μήτρᾳ ἀσπόρως τῆς Παρθένου, τὴν τοῦ δούλου μορφὴν ἀναλαβόντα, καὶ ἐπιφανέντα κόσμου εἰς σωτηρίαν, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Ἠσαΐα χόρευε.

Τῶν κατορθωμάτων τε, καὶ τῶν λόγων, σοῦ τὰς ἀστραπάς, Γρηγόριε εὐφημεῖν, νοῦς ἀδυνα-

www.tezaurliturgic.ro



τῶν, σαφῶς ὁ ἡμέτερος, ὁμολογεῖ, ἧτταν εὐκλεῆ· σοῦ καταγγέλλει δέ, ὑπὲρ δύναμιν τὸν ἔπαινον.

Μυστηπόλων ἄριστε, τῇ Τριάδι, νῦν παρεστηκώς, σὺν Ἀποστόλων χορῷ, καὶ τῶν Προφητῶν, Μαρτύρων Δικαίων τε, Πατριαρχῶν, μέμνησο ἡμῶν, τῶν ἀνυμνούντων σου, τὸ μνημόσυνον Γρηγόριε.

Ἐποπτεύεις ἄνωθεν, προασπίζων, νῦν Ἀρχιερεῦ, τῆς Ἐκκλησίας Χριστοῦ, νίκας τῷ πιστῷ, δωρούμενος Ἄνακτι, καὶ δουλικόν, σύντριψον ζυγόν, σοὺς σῴζων πρόσφυγας, ταῖς πρεσβείαις σου Γρηγόριε.

Θεοτοκίον.

Ὡς τεκοῦσα Πάναγνε, τῶν κτισμάτων, τὸν Δημιουργόν, κατὰ παντὸς γεννητοῦ, φέρεις τὴν ἀρχήν, ἀσύγκριτον ἔχουσα, ὑπεροχήν, καὶ ὑπερφυῆ· ὅθεν τὸν Τόκον σου, προσκυνοῦντες σὲ δοξάζομεν.

Κανὼν δεύτερος. Τὸν προδηλωθέντα ἐν ὄρει.

Ἔθετο ἐρήμους φρένας εἰς λίμνας ὑδάτων, τὰς τοῦ Πνεύματος Ὅσιε διαυγεῖς θεωρίας, ἡ θεϊκὴ διδαχή σου τῶν λόγων, ἄβυσσον αἱρέσεων ξηράνασα.

Τοὺς τῶν ἀρετῶν χαρακτῆρας δι' ἐγκρατείας, εὐσεβείας χρώμασιν ἑαυτῷ συμμορφώσας, ἀληθῶς τοῦ Θεοῦ κατ' εἰκόνα, τὴν ψυχήν σου ἔδειξας μακάριε.

Μνήσθητι τῆς ποίμνης σου Πάτερ ἱεροκῆρυξ, παῤῥησίαν ἔνδοξε πρὸς Θεὸν κεκτημένος, ἵνα μείνῃ ἀνεπηρέαστος πάντων, τῶν τοῦ διαβόλου κακοτέχνων βουλῶν.

Θεοτοκίον.

Διὰ σοῦ εἰδώλων ἐῤῥύσθημεν Θεοτόκε, διὰ σοῦ σεβόμεθα τὴν Ἁγίαν Τριάδα, διὰ σοῦ δυσωποῦμεν συνήθως, ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸ Πνεῦμα τὸ Παράκλητον, οἰκῆσαν ἐν καρδίᾳ σου, θεολογεῖν σε πανσόφως, ἐδίδαξε θεοῤῥῆμον, καὶ τῆς αὐτοῦ Θεότητος, ὑπέρμαχον πραότατον, ἀνέδειξε Γρηγόριε, τῶν Νυσσαέων πρόεδρε, καὶ μύστα τῆς ἀληθείας.

Ἕτερον. Ἐπεσκέψατο ἡμᾶς.

Τὸν ποιμένα τὸν καλόν, Γρηγόριον τὸν πάνσοφον, τῶν Νυσσαέων πρόεδρον, τοῦ Βασιλείου τοῦ σοφοῦ, ὁμότροπον ὁμαίμονα, ἐν ᾠδαῖς τε καὶ ὕμνοις, τιμήσωμεν ἅπαντες.

Καὶ τῆς Ἑορτῆς.

Ἐπεφάνη ὁ Σωτήρ, ἡ χάρις ἡ ἀλήθεια, ἐν ῥείθροις τοῦ Ἰορδάνου, καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ, καθεύδοντας ἐφώτισε· καὶ γὰρ ἦλθεν ἐφάνη, τὸ φῶς τὸ ἀπρόσιτον.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρον Γρηγόριε, ἔξω σαρκὸς γεγονώς, ἀρετῶν τελειότητι, τῆς σοφίας ἔλαβες, οὐρανόθεν τὸ δώρημα, καὶ ἀπεμώρανας τὰ σοφίσματα, τῆς ἀσεβείας ἐνθέῳ στόματι. Ὅθεν ἀφθάρτου σε, δόξης κατηξίωσεν ἐν οὐρανοῖς, ὁ πανυπεράγαθος, τῆς δόξης Κύριος.

Πάτερ παμμάκαρ Γρηγόριε, ἱεραρχίας φαιδρῶς, κοσμηθεὶς τῷ ἐνδύματι, τῷ Θεῷ ὡς Ἄγγελος, καθαρῶς ἐλειτούργησας, καὶ ταῖς ἀκτῖσι τῶν θείων λόγων σου, ἐν Ἱεράρχαις ὡς λύχνος ἔλαμψας. Ὅθεν τὴν μνήμην σου, ἐκτελοῦντες σήμερον τὴν φωταυγῆ, τὴν πληθὺν κηρύττομεν, τῶν θαυμασίων σου.

Πάτερ τρισμάκαρ Γρηγόριε, ἀνοίξας ζήλῳ Θεοῦ, τὸ πανάγιον στόμα σου, εὐσεβῶς ἐβρόντησας, τὰ σωτήρια δόγματα, καὶ θεοσόφοις λόγοις ἐκήρυξας, τὸ τῆς Τριάδος μέγα μυστήριον. Ὅθεν ὑμνοῦμέν σε, τῶν πιστῶν οἱ σύλλογοι χρεωστικῶς, ὡς ἡμῶν διδάσκαλον, θεοειδέστατον.

Πάτερ θεόφρον Γρηγόριε, πρὸς τὰς ἀφθάρτους σκηνάς, μετὰ δόξης εἰσέδραμες, πίστεως τοῖς σκάμμασι, μεγαλύνας τὸν Κύριον, καὶ ἐλαμπρύνθης τοῖς ἀπαυγάσμασι, τοῦ τρισηλίου Φωτὸς ἀοίδιμε. Ὅθεν δεόμεθα, ἐκτενῶς ἱκέτευε τὸν Λυτρωτήν, τῶν πταισμάτων ἄφεσιν, ἡμῖν δωρήσασθαι.

Δόξα Πατρί. Ἦχος α'. Ἀνατολίου.

Ὁ τῆς ὀρθῆς πίστεως γενναῖος ἀγωνιστής, ὁ συγκακοπαθήσας ὡς καλὸς στρατιώτης Χριστοῦ τοῦ Θεοῦ, καὶ τῷ στρατολογήσαντι ἀρέσας, ἀγωνίζου καὶ νῦν ὑπὲρ τῆς Ἐκκλησίας, τὸν καλὸν ἀγῶνα, διατηρῶν αὐτῆς, τῶν σῶν δογμάτων ἀσάλευτον, τὴν κρηπῖδα Γρηγόριε.

www.tezaurliturgic.ro



Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.
Γερμανοῦ Πατριάρχου.

Σὺ ἐν Ἰορδάνῃ βαπτισθείς, ὁ Σωτὴρ ἡμῶν, τὰ ῥεῖθρα ἡγίασας, τῇ παλάμῃ τοῦ δούλου χειροθετούμενος, καὶ τὰ πάθη τοῦ κόσμου ἰώμενος. Μέγα τὸ μυστήριον τῆς ἐπιφανείας σου! φιλάνθρωπε Κύριε, δόξα σοι.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ιγ΄ Νοεμβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Ὁ τῶν Νυσσαέων μέγας φωστήρ, καὶ τῆς Ἐκκλησίας, ὁ ἀκοίμητος ὀφθαλμός, τὸ γρήγορον στόμα, τῆς παντουργοῦ Τριάδος, Γρηγόριος ὁ θεῖος, ἀνευφημείσθω μοι.

*Δίστιχον.*

*Κύριλλος Γρηγόριε ἀνύμνησέ σε*
*Ὡς Τριάδος πρόμαχον τῆς Παναγίας.*

